πεύειν ἅπαντας, ἀριθμητικῶς οὐ γεωμετρικῶς ὁρίζων τὸ δίκαιον. εἰς καπήλου μὲν οὖν φοιτῶμεν ἑνὶ χρώμενοι μέτρῳ τῷ δημοσίῳ πάντες· ἐπὶ δεῖπνον δ' ἕκαστος ἰδίαν ἥκει γαστέρα κομίζων, ἣν οὐ τὸ ἴσον ἀλλὰ τὸ ἀρκοῦν ἐμπίπλησι. τὰς δ' Ὁμηρικὰς ἐκείνας δαῖτας οὐ χρὴ μεταφέρειν D ἐκ τῶν στρατιωτικῶν καὶ παρεμβολικῶν ἐνταῦθα δείπνων, ἀλλὰ μᾶλλον τὴν τῶν παλαιῶν φιλανθρωπίαν ζηλοῦν, οὐ μόνον ὁμεστίους οὐδ' ὁμωροφίους ἀλλὰ καὶ ὁμοχοίνικας καὶ ὁμοσιπύους τῷ πᾶσαν σέβεσθαι κοινωνίαν ἐν τιμῇ τιθεμένων. τὰ μὲν οὖν Ὁμήρου δεῖπνα χαίρειν ἐῶμεν· ὑπολιμώδη γάρ ἐστι καὶ διψαλέα καὶ τοὺς ἑστιάρχας βασιλεῖς ἔχοντα τῶν Ἰταλικῶν δεινοτέρους καπήλων, ὥστε παρὰ τὰς μάχας, ἐν χερσὶ τῶν πολεμίων ὄντων, ἀπομνημονεύειν (Δ 345) ἀκριβῶς, πόσον ἕκαστος τῶν δεδειπνηκότων παρ' αὐτοῖς πέπωκε· τὰ δὲ Πινδαρικὰ βελτίω δήπουθεν, ἐν οἷς (fr. 187)

E ʽἥρωες αἰδοίαν ἐμίγνυντ' ἀμφὶ τράπεζαν θαμά'

τῷ κοινωνεῖν ἁπάντων ἀλλήλοις. ἐκεῖνο γὰρ ἦν οἷον ἀνάμιξις καὶ σύγκρασις ἀληθῶς, τοῦτο δὲ διαίρεσις καὶ διαβολὴ τῶν φιλτάτων εἶναι δοκούντων, ὡς μηδ' ὄψου κοινωνεῖν δυναμένων.'

**2.** Ἐπὶ τούτοις εὐδοκιμήσαντι τῷ Ἁγίᾳ ⟨Λαμπρίαν⟩ παρωξύναμεν ἐπιθέσθαι. ἔλεγεν οὖν ⟨οὐ⟩ ξένον τι πεπονθέναι πάθος Ἁγίαν, εἰ τὴν ἴσην μερίδα λαμβάνων δυσκολαίνει, γαστέρα φορῶν τηλικαύτην· καὶ γὰρ αὐτὸς εἶναι τῶν ἀδηφαγίᾳ χαιρόντων· ʽἐν γὰρ ξυνῷ ἰχθύι ἄκανθαι οὐκ

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id402389735/82 UNIVERSITÄT LEIPZIG